δεύτερον μέρος ἐν τῷ· Διότι τὰ συμβεβηκότα, μέχρι τοῦ· Καὶ διότι τὰ ἴδια πάθη, κἀνταῦθα τὸ γράμμα σαφηνείας γέμον οὐδεμιᾶς ἐπιστασίας δεῖται.

## CXXVI.

### ρκς΄. Ὅπως αἱ οὐσίαι ἐξ ἀφαιρέσεως λαμβανόμεναι οὐκ εἰσὶν ἐν κατηγορίᾳ κατ' εὐθεῖαν.

Ἀλλὰ δεῖ μόνον σημειώσασθαι ἔξωθεν πρὸς μείζω σαφήνειαν, ὅτι κατηγορία ἐστὶ τάξις τῶν κατηγορητῶν κατὰ τὸ ὑπὸ καὶ ἐπί. Οἷς οὖν οὐ δυνατόν ἐστιν ἀποδίδοσθαι τὰς ἐπινοίας τῶν κατηγορικῶν, ἅπερ εἰσὶ γένος, εἶδος καὶ τὰ λοιπά, ταῦτα κατ' εὐθεῖάν τε καὶ ὀρθῶς ἀδύνατόν ἐστιν ἔν τινι κατηγορίᾳ τίθεσθαι. Ἐπεὶ οὖν ταῖς οὐσίαις ἐξ ἀφαιρέσεως λαμβανομέναις οὐκ ἔστι δυνατὸν ἀποδίδοσθαι τὰς καθόλου λογικὰς ἐπινοίας διὰ τὸ σημαίνεσθαι ταύτας τῷ τοῦ μέρους τρόπῳ καὶ διὰ τοῦτο κατὰ τῶν ὑποκάτω κατηγορεῖσθαι μὴ δύνασθαι, ἐντεῦθεν ἕπεται ταῖς οὐσίαις ἐξ ἀφαιρέσεως λαμβανομέναις μὴ προσήκειν τὸ κατ' εὐθεῖάν τε καὶ ὀρθῶς ἐν κατηγορίᾳ τίθεσθαι, ἀλλὰ κατ' ἀναγωγὴν μόνον, ὡς μέρη. Ἐπεὶ δέ, κατὰ τὸν Φιλόσοφον, ὂν καθ' αὑτὸ καὶ πραγματικόν ἐστι τὸ εἰς τὰ δέκα διαιρούμενον γένη, δεῖ καὶ τοῦτο εἰδέναι καλῶς ὡς, ἐπεὶ τὸ λευκὸν ὄν ἐστι κατὰ συμβεβηκός· δηλοῖ γάρ τι συγκείμενον ἐκ συμβεβηκότος καὶ ὑποκειμένου ἀδιορίστου, ὃ δήπου σημαίνει· ἐντεῦθεν δικαίως ἀκολουθεῖ τὸ συμβεβηκὸς λαμβανόμενον συγκεκριμένως μὴ εἶναι ὀρθῶς ἐν κατηγορίᾳ, ἀλλ' ἢ μόνον κατὰ ἀναγωγήν· ἔστι μὲν γὰρ ἐν τῇ τῆς οὐσίας κατηγορίᾳ τῷ λόγῳ τοῦ ὑποκειμένου, ἐν δὲ τῇ κατηγορίᾳ τῆς ποιότητος τῷ τῆς λευκότητος λόγῳ, ἣν προηγουμένως δηλοῖ.

## CXXVII.

### ρκζ΄. Ὅπως αἱ κατηγορίαι ἀλλήλων διακρίνονται.

Λαμβάνουσι δέ τινες, ἐξ ὧν ἐν τῷ δευτέρῳ μέρει φησὶν ὁ διδάσκαλος, ὡς δὴ καὶ τῇ τοῦ διδασκάλου γνώμῃ συμβαῖνον, τὸ τὰς κατηγορίας μὴ διαφέρειν ἀλλήλων πραγματικῶς, ἀλλὰ κατὰ τοὺς διαφόρους τῆς ὑπάρξεως τρόπους, καὶ διὰ τοῦτο φασὶ τὴν τῶν κατηγοριῶν διάκρισιν οὐκ ἐκ τῆς πραγματώδους διαφορᾶς καὶ τῆς τῶν οὐσιῶν αὐτῶν λαμβάνεσθαι δεῖν, ἀλλ' ἐκ τῆς διαφορᾶς τῶν τῆς ὑπάρξεως τρόπων. Ὅθεν φασὶ τὴν οὐσίαν μὴ διαφέρειν τῆς τε ποσότητος καὶ ποιότητος τῷ δηλοῦν διαφόρους οὐσίας, ἀλλὰ τῷ δηλοῦν διαφόρους τρόπους τοῦ εἶναι, ὡς ἂν τῆς μὲν οὐσίας ἐχούσης τοῦτον τοῦ εἶναι τὸν τρόπον, ὅς ἐστι τὸ ἔχειν εἶναι καθ' αὑτό, τῆς δὲ ποσότητος τὸ μετρεῖν τὴν οὐσίαν, τῆς δὲ ποιότητος τὸ ταύτην διατιθέναι πως· ὡσαύτως δὲ καὶ περὶ τῶν ἄλλων· καὶ οὕτως ἀλλήλων

1-2 cf. c. VII, 3, p. 176, 6  32 *αὐτῶν* om L

Ε.Υ.Δ της ΚΤΠ ΙΩΑΝΝΙΝΑ 2006

φασὶ τὰς κατηγορίας διακρίνεσθαι πάσας. Τοῦτο δὲ ἀ|ληθές ἐστιν ὅσον f. 91
πρὸς τὸν τῆς ἡμετέρας γνώσεως τρόπον, καὶ εἰ τῇ γε ἀληθείᾳ τοῦ πράγματος καὶ κατὰ τὰς διαφόρους οὐσίας καὶ πραγματικότητας αὐτῶν διακρίνονται· κἀντεῦθεν ἕτεροι λαμβάνουσιν αὖθις τὴν τῶν κατηγοριῶν διάκρισιν ἐκ τῶν διαφόρων τῆς κατηγορίας τρόπων, οἵτινες ἐκ τῶν διαφόρων τοῦ εἶναι τρόπων λαμβάνονται· καὶ τοῦτο δὲ ἀληθές ἐστιν ὁμοίως ὅσον πρὸς τὴν ἡμετέραν γνῶσιν, εἰ καὶ μὴ διὰ τοῦτο ἡ πραγματικὴ καὶ οὐσιώδης τῶν κατηγοριῶν διάκρισις εἴργεται. Ὅθεν αἱ διακρίσεις αὗται πᾶσαι ἀπὸ τοῦ ὑστέρου τυγχάνουσιν· ἡ γὰρ οὐσία, ἡ ποσότης, ἡ ποιότης καὶ τὰ λοιπὰ ἐντεῦθεν ἔχουσι διαφόρους τρόπους τοῦ τε εἶναι, τοῦ τε κατηγορεῖσθαι, διότι διαφόρους οὐσίας ἔχουσι, καὶ διαφόρους πραγματικότητας, ὡς λέγουσι, καὶ οὐ τὸ ἀνάπαλιν.

Ἐφεξῆς λέγων· *Καὶ διότι τὰ ἴδια πάθη*, ἀπορίαν τινὰ διαλύει τοιαύτην. Σαφές ἐστι πᾶσιν ἐκ τῶν εἰρημένων ἐν τῷ ὁρισμῷ παντὸς συμβεβηκότος οὑτινοσοῦν δεῖν τὸ ὑποκείμενον τίθεσθαι· εὔλογον οὖν ἐστιν ἀπορεῖν διὰ τίποτε ἐν μὲν τῷ ὁρισμῷ τοῦ συμβεβηκότος συγκεκριμένως λαμβανομένου τίθεται τὸ ὑποκείμενον ἀντὶ γένους, ὥσπερ ἐὰν λέγωμεν· *Σιμή ἐστι ῥὶς κοίλη*· ἐν δὲ τῷ ὁρισμῷ τοῦ κατ' ἀφαίρεσιν λαμβανομένου συμβεβηκότος τὸ ὑποκείμενον ἀντὶ διαφορᾶς τίθεται, ὡς ἐὰν λέγωμεν· *Σιμότης ἐστὶ κοίλανσις, ἢ κοιλότης ἐν ῥινί*. Ταύτην οὖν λύει τὴν ἀπορίαν καλῶς λέγων· ἐπεὶ τὰ ἴδια πάθη ἐκ τῶν τοῦ ὑποκειμένου ἀρχῶν κτίζονται, ὡς πρότερον εἴρηται, ἐξ ὧν ἀρχῶν αἱ διαφοραὶ λαμβάνονται, διὰ τοῦτο, εἴπερ ὁρισθείη τὸ συμβεβηκὸς ὡς ἔστιν ἐξ ἀφαιρέσεως, ὅπερ ἐστὶ κατ' εὐθεῖαν ἐν κατηγορίᾳ ὡς εἶδος, ἐν τῷ ὁρισμῷ τούτου δεῖ τὰς τοῦ ὑποκειμένου ἀρχὰς τίθεσθαι ἀντὶ διαφορᾶς, ἐξ ὧν ὀφείλουσι αἱ διαφοραὶ λαμβάνεσθαι· καὶ διότι, τιθεμένου τοῦ ὑποκειμένου, τίθενται αἱ τούτου ἀρχαί, διὰ τοῦτο ἐν τῷ ὁρισμῷ τοῦ συμβεβηκότος κατὰ ἀφαίρεσιν εἰλημμένου τὸ ὑποκείμενον διαφορᾶς χώραν πληροῖ. Ἀλλ' ἐπειδὰν ὁριζώμεθα τὸ συμβεβηκὸς ἐν τῷ συγκεκριμένῳ, τὸ ὑποκείμενον ἀντὶ γένους ἐν τῷ ὁρισμῷ τίθεται εἰκότως· ἐπειδὴ γὰρ τὸ συμβεβηκὸς συγκεκριμένως εἰλημμένον λέγει τι σύνθετον ἔκ τε συμβεβηκότος καὶ ὑποκειμένου, ὧν θάτερον, δηλονότι τὸ ὑποκείμενον, ἔχει ὡς ὕλη, θάτερον δὲ ὡς εἶδος, δηλονότι τὸ συμβεβηκός, διὰ τοῦτο, ἐπειδὰν ὁρίζηται, ὁρίζεται τῷ τρόπῳ τῶν συνθέτων οὐσιῶν, αἵ εἰσιν ἐξ ὕλης καὶ εἴδους συνεστηκυῖαι· καὶ διότι τὸ γένος ἐν ταύταις ταῖς οὐσίαις ἐκ τῆς ὕλης λαμβάνεται, διὰ τοῦτο κἀν
αὐτοῖς | τοῖς συμβεβηκόσιν ἀντὶ γένους λαμβάνεσθαι δεῖ τὸ ἔχον ὡς ἡ ὕλη, f. 91v
τουτέστι τὸ ὑποκείμενον. Προστίθησι δὲ ὅτι τὸν αὐτὸν δεῖ τρόπον νοεῖν, εἰ ἓν συμβεβηκὸς ἀρχὴ εἴη ἑτέρου συμβεβηκότος, ὥσπερ ἡ ἐνέργεια καὶ

13 *Καὶ διότι τὰ ἴδια πάθη*: c. VII, 3, p. 176, 16

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὸ πάθος καὶ ἡ ποσότης ἀρχαί εἰσι τῆς ἀναφορᾶς ἐν τῷ τοῦ ἑνὸς συμβεβηκότος ὁρισμῷ τίθεσθαι τὸ λοιπόν, ὅπερ ἐστὶν ἀρχὴ αὐτοῦ, ἢ ὡς γένος, ἢ ὡς διαφοράν, καθὸ διαφόρως ὁρίζεται, ἐξ ἀφαιρέσεως δηλονότι εἴτε συγκεκριμένως· καὶ κατὰ τοῦτο διαιρεῖ ὁ Φιλόσοφος τὴν ἀναφορὰν ἐν ἑβδόμῳ τῶν μετὰ τὰ φυσικά.

## CXXVIII.

ρκη'. Ὅπως τὸ ἐν τῷ ὁρισμῷ πρῶτον τιθέμενον γένος ἐστί, τὸ δὲ ἑπόμενον, διαφορά.

Ἰστέον δὲ ὅτι ἐν παντὶ ὁρισμῷ τὸ τιθέμενον πρῶτον, γένος ἐστὶν ἢ ὡς γένος, τὸ δὲ προστιθέμενόν ἐστι ὥσπερ διαφορά· τούτου δὲ λόγος ἐστίν, ὅτι τὸ γένος ἔχει ὡς διαφορόν τι καὶ ἀδιόριστον, ἡ δὲ διαφορὰ διορίζουσά ἐστι, καὶ ἐπειδὴ τὸ πρότερον ὁρίζεται διὰ τοῦ ὑστέρου, καὶ οὐ τὸ ἀνάπαλιν, διὰ τοῦτο τὸ γένος ἢ τὸ ὡς γένος τὴν πρώτην χώραν ἔλαχεν ἐν τῷ ὁρισμῷ. Ἕπεται δὴ ἡ διαφορὰ ἢ τὸ ἀντὶ τῆς διαφορᾶς ἐν δευτέρᾳ τάξει, καὶ διὰ τοῦτο εἴπερ ὁρίζοιτο ὁ σιμός, δεῖ τίθεσθαι τὴν ῥῖνα ἐν πρώτῳ τόπῳ· εἰ δὲ ὁρίζοιτο ἡ σιμότης, δεῖ τίθεσθαι ἐν δευτέρῳ τόπῳ ἀντὶ διαφορᾶς, οἷον· Σιμότης ἐστὶ κοιλότης ῥινός.

## CXXIX.

ρκθ'. Ὅπως ἡ ἀναφορὰ ἐν τρισὶ θεμελιοῦται κατηγορίαις.

Ἔτι, ἰστέον ὅτι, κατὰ τὸν Φιλόσοφον ἐν πέμπτῳ τῶν μετὰ τὰ φυσικά, ἡ ἀναφορὰ ἐν τρισὶ κατηγορίαις ἱδρύεται, τῇ ποσότητι δηλονότι, τῇ ἐνεργείᾳ καὶ τῷ πάθει· ἐν μὲν τῇ ποσότητι, ὡς τὸ διπλάσιον καὶ τὸ ἥμισυ· ἐν δὲ τῇ ἐνεργείᾳ καὶ τῷ πάθει τριχῶς· ἢ ἐν τῇ ἐνεργείᾳ καὶ τῷ πάθει παροῦσιν, ὡς τὸ κινοῦν καὶ κινούμενον· ἢ ἐν τῇ ἐνεργείᾳ καὶ τῷ πάθει τοῖς παρελθοῦσιν, ὡς πατὴρ καὶ υἱός· ἢ ἐν τῇ ἐνεργείᾳ καὶ τῷ πάθει τοῖς μέλλουσι καὶ δυνατοῖς, ὡς δοῦλος (καὶ) δεσπότης. Τὸ μὲν γὰρ ποιοῦν ἢ κινοῦν ἔχει ἀναφορὰν πρὸς τὸ κινούμενον, καθόσον ἐνεργείᾳ δρᾷ εἰς αὐτό· ὁ δὲ πατὴρ ἀναφορὰν ἔχει πρὸς τὸν υἱόν, καθόσον αὐτὸν γεγέννηκεν· ὁ δὲ δεσπότης πρὸς τὸν δοῦλον, καθόσον δύναται συνέχειν αὐτὸν καὶ κυριεύειν ὡς ἂν βούλοιτο.

Ἐφεξῆς λέγων· Ἀλλ' ἐπειδὴ αἱ ἴδιαι ἀρχαί, ἀποσκευάζεται τινὰ ἀπορίαν. Εἴρηται γὰρ ὡς αἱ διαφοραὶ τῶν συμβεβηκότων ἐκ τῶν ἀρχῶν τοῦ ὑποκειμένου λαμβάνονται ἐξ ὧν κτίζονται· οὐκοῦν ἐπειδὰν ὁρίζηται τὸ συμβεβηκός, ἀντὶ διαφορᾶς δεῖ τι λαμβάνεσθαι ἀνῆκον πρὸς τὴν αἰτίαν αὐτοῦ· ἀλλὰ τὸ συγκριτικὸν καὶ διακριτικὸν ἀποτέλεσμα τῶν συμβεβηκότων δηλοῦσιν· ἡ μὲν γὰρ λευκότης ἔχει τοῦτο τὸ ἀποτέλεσμα, ὅπερ ἐστὶ τὸ διακρίνειν τὴν ὄψιν· ἡ δὲ μελανία, τὸ συγκρίνειν αὐτήν.

---

32 *Ἀλλ' ἐπειδή*: c. VII, 3, p. 176, 30

Φησὶ τοίνυν λύων ταύτην τὴν ἀπορίαν, | ὅτι τὸ αἴτιον τοῦ ταῦτα λαμβάνεσθαι παρ' ἡμῶν ὡς διαφορά ἐστι τὸ τὰς ἰδίας ἀρχὰς τῶν συμβεβηκότων, ἐξ ὧν τὰ συμβεβηκότα τίκτονται, μὴ εἶναι ἡμῖν φανεράς, καὶ διὰ τοῦτο ἔστιν ὅτε λαμβάνομεν τὰς διαφορὰς τῶν συμβεβηκότων ἐκ τῶν ἀποτελεσμάτων αὐτῶν, ὥσπερ τὸ συγκριτικὸν καὶ διακριτικὸν διαφοραὶ τοῦ χρώματος λέγονται, ἐκ τῆς ὑπερβολῆς ἢ τῆς ὀλιγότητος γινόμεναι τοῦ φωτός, ἐξ οὗ τὰ διάφορα εἴδη τοῦ χρώματος γίνονται. f. 92

## CXXX.

ρλ'. Ὅτι ἀγνοοῦμεν τὰς κυρίως διαφορὰς τῶν συμβεβηκότων.

Ἰστέον γὰρ ὡς, εἰ καὶ τὰς κοινὰς ἀρχὰς τῶν χρωμάτων ἁπάντων γινώσκομεν, αἵ εἰσι τὰ τέσσαρα στοιχεῖα, τὰς ἰδίας μέντοι γε τούτων ἀρχάς, ἐξ ὧν ἕκαστον συμβεβηκὸς κτίζεται, περιφανῶς ἀγνοοῦμεν· αὗται δέ εἰσιν αἱ διάφοροι μίξεις καὶ ἀναλογίαι τῶν στοιχείων, καὶ διὰ τοῦτο, τῶν ἰδίων ἀγνοουμένων ἀρχῶν, τὰς διαφορὰς τῶν συμβεβηκότων ἐκ τῶν ἀποτελεσμάτων αὐτῶν λαμβάνομεν, ἅπερ εἰδέναι δυνάμεθα, ἰστέον τε ὅτι ἅπαν χρῶμα γενικῶς ἐκ τῆς παρουσίας τοῦ φωτὸς γίνεται ἐν διαφανεῖ πεπερασμένῳ. Ὡς ἂν δὲ ἐναργεστέρα αὕτη ἡ πρότασις γένοιτο, δεῖ σημειοῦσθαι, ὡς ἐν τοῖς τέσσαρσι στοιχείοις τὸ μὲν πῦρ προσαγορεύεται φῶς, διαφανὲς προσαγορεύεται ὁ ἀὴρ καὶ τὸ ὕδωρ· τὸ δὲ ταῦτα πάντα ὁρίζον καὶ περατοῦν ἐστιν ἡ γῆ. Οὐδὲν οὖν ἕτερόν ἐστι τὸ λέγειν, ὅτι τὸ χρῶμα κτίζεται ἐκ τῆς παρουσίας τοῦ φωτὸς ἐν διαφανεῖ ὡρισμένῳ ἢ πεπερασμένῳ εἰ μὴ ὅτι ἐκ τῆς μίξεως τῶν τεσσάρων στοιχείων, διότι ἐκ τῆς παρουσίας τοῦ φωτός, τουτέστι τοῦ πυρός, ἐν τῷ διαφανεῖ, τουτέστι τῷ ἀέρι καὶ ὕδατι πεπερατωμένῳ, δηλονότι διὰ τῆς γῆς.

## CXXXI.

ρλα'. Ὅτι ἐν τῷ ἁπλῷ σώματι ἀδύνατον εἶναι τὸ χρῶμα.

Ἐκ δὲ τῶν εἰρημένων ἐναργές ἐστιν, ὡς ἐν οὐδενὶ σώματι στοιχειακῷ καθ' αὑτό, οὔτε ἔν τινι σώματι τῶν οὐρανίων δυνατόν ἐστι τὸ χρῶμα κυρίως εὑρίσκεσθαι, διότι οὐδαμοῦ εἰσιν αἱ δεύτεραι ποιότητες, εἰ μὴ ὅπου εἰσὶν αἱ πρῶται· αὗται δέ εἰσι τὸ θερμόν, τὸ ψυχρόν, τὸ ὑγρὸν καὶ ξηρόν, ἅπερ εἰσὶ μόνον ἐν τῷ μικτῷ, καὶ οὐκ ἔν τινι τῶν στοιχείων· ἐν οὐδενὶ γὰρ τῶν στοιχείων πάντα εὑρίσκονται, ἀλλ' ἐν ἑκάστῳ δύο μόνον, οἷον ἐν μὲν τῷ πυρὶ θερμότης καὶ ξηρότης· ἐν δὲ ἀέρι θερμότης καὶ ὑγρότης, ψυχρότης δὲ καὶ ὑγρότης ἐν ὕδατι, καὶ ξηρότης μετὰ ψυχρότητος ἐν τῇ γῇ· ἐν δὲ τῷ οὐρανίῳ σώματι οὐδεμία ποιότης εὑρίσκεται κατὰ τὴν Ἀριστοτέλους δόξαν.

Ἰστέον δὲ πρὸς τοῖς εἰρημένοις καὶ τοῦτο ὡς, εἰ καὶ πᾶν χρῶμα κοινῶς γίνεται ἐκ τῆς τοῦ φωτὸς παρουσίας ἐν διαφανεῖ ὡρισμένῳ, ὅμως

τὰ διάφορα χρώματα διαφόρως γίνονται. Ἔνθα μὲν γάρ ἐστι πλέον ἐκ τοῦ f. 92v φωτὸς καὶ ἔλαττον ἐκ τοῦ διαφανοῦς, τότε τὸ | λευκὸν γίνεται· ὅταν δὲ ὀλίγον ἐκ τοῦ φωτὸς ᾖ, τὸ δὲ πλέον ἐκ τοῦ διαφανοῦς τοῦ πεπερατωμένου, τὸ μέλαν γίνεται, ἅπερ εἰσὶ χρώματα ἄκρα. Ὅταν δὲ μέσως πως ἔχωσι, γίνονται τὰ μέσα χρώματα διάφορα κατὰ τὴν διάφορον ἀναλογίαν τοῦ τε φωτὸς καὶ τοῦ πεπερατωμένου διαφανοῦς.

Οὕτως οὖν φανερόν ἐστιν. Ἐπίλογον ποιεῖται τῶν εἰρημένων ἁπάντων ἐν ταύτῃ τῇ ξυμπάσῃ πραγματείᾳ, καὶ φησὶν ὡς ἐκ τῶν εἰρημένων ἤδη σαφές ἐστιν πῶς ἐστιν ἡ οὐσία ἐν ταῖς οὐσίαις καὶ τοῖς συμβεβηκόσιν· ὅτι ἐν μὲν ταῖς οὐσίαις ἁπλῶς, ἐν δὲ τοῖς συμβεβηκόσι πῇ· καὶ πῶς ἐν ταῖς οὐσίαις ταῖς συνθέτοις καὶ ταῖς ἁπλαῖς, ὅτι ἐν ταῖς ἁπλαῖς ἀληθέστερον τρόπον ἢ ἐν ταῖς συγκειμέναις· καὶ πῶς ἐν τούτοις πᾶσιν εὑρίσκονται αἱ λογικαὶ ἐπίνοιαι, αἵ εἰσιν εἶδος, γένος καὶ διαφορά, ἐξῃρημένης τοῦ λόγου τῆς πάντων τούτων ἀρχῆς, ἥ ἐστιν ὁ Θεός, ἐν τῷ τέλει τῆς ἁπλότητος ἱδρυμένος, διότι οὐδεμία σύνθεσις εὑρεθῆναι δύναται ἐν αὐτῷ, ᾧπερ οὐδόλως ὁ τοῦ γένους λόγος ἁρμόττει, ἢ τοῦ εἴδους, ἢ τῆς διαφορᾶς, καὶ ἑπομένως οὐδὲ ὁρισμός, διὰ τὴν ἄκραν αὐτοῦ ἁπλότητα.

## CXXXII.

### ρλβ΄. Διατὶ οὐ δυνάμεθα τὸν Θεὸν ὁρίζεσθαι.

Ἐν τούτοις σημειώσασθαι δεῖ, ὅτι τριπλοῦν ἀποδιδόναι λόγον ὡς ἐξ ὑπογύου δυνάμεθα τοῦ μὴ τὸν Θεὸν ὁρίζεσθαι δύνασθαι· ἕνα μέν, ὅτι μόνου τοῦ εἴδους ἐστὶν ὁ ὁρισμός, ὡς φησὶν ὁ Βοήτιος· τῷ δὲ Θεῷ ἀδύνατόν ἐστι τὴν τοῦ εἴδους ἐπίνοιαν ἀποδίδοσθαι· οὐ γάρ ἐστιν ἔν τινι κατηγορίᾳ, ὡς εἴρηται· δεύτερον, ὅτι πᾶς ὁρισμὸς ἀληθὴς ἐκ γένους συνίσταται καὶ διαφορᾶς· ἀλλ' ὁ Θεὸς οὐκ ἔχει εἴδη καὶ διαφορὰς οὐδὲ γένος· οὕτω γὰρ ἦν ἂν δύναμις ἀτελὴς ἐν αὐτῷ, καὶ πολλὰ ἂν ἐντεῦθεν ἄτοπα εἵπετο· τρίτον, ὅτι ὁρισμός ἐστι λόγος ἔχων μέρη, ὡς φησὶν ὁ Φιλόσοφος ἐν ἑβδόμῳ τῶν μετὰ τὰ φυσικά· ὁ δὲ Θεὸς ἁπλῶς ἐστιν ἀδιαίρετος. Καὶ τούτων τῶν λόγων καὶ ἄλλων ὁ διδάσκαλος ἐν τῷ γράμματι ἅπτεται τοῖς νουνεχόντως ἐπιβάλλειν αὐτῷ δυναμένοις· εὔλογον δέ ἐστιν ἐνταῦθα καὶ ζητημάτων λύσιν τινῶν ἐπιθεῖναι τοῦ βιβλίου τῷ τέλει καθάπερ τι ἥδυσμα ἐκ τῶν ἔναγχος εἰρημένων ἀναφύεσθαι δυναμένων.

## CXXXIII.

### ρλγ΄. Εἰ ἐν τῷ ὁρισμῷ τοῦ συγκεκριμένου συμβεβηκότος δεῖ τίθεσθαι τὸ ὑποκείμενον ἀντὶ γένους.

Οἷον πρῶτον, εἰ ἀληθές ἐστι τὸ δεῖν ἐν τῷ ὁρισμῷ τοῦ συμβεβηκότος συγκεκριμένως λαμβανομένῳ τίθεσθαι τὸ ὑποκείμενον ἀντὶ γένους· ἤδη

7 *Οὕτως οὖν φανερόν ἐστιν*: c. VII, 3, p. 176, 35

Ε.Υ.Δ της ΚΠΙ ΙΩΑΝΝΙΝΑ 2006

γὰρ ὁ ἄνθρωπος προδήλως ἴδιον ὑποκείμενόν ἐστι τῆς γελαστικότητος, καὶ ὅμως ἄτοπόν ἐστιν ὁριζομένους ἡμᾶς τὸ γελαστικόν, λέγειν οὕτως· Γελαστικόν ἐστιν ἄνθρωπος πεφυκὼς γελᾶν. Πρὸς δὴ τοῦτο ῥητέον, ὅτι τὰ ἴδια συμβεβηκότα τινὸς ὑποκειμένου διττά εἰσιν· τὰ μὲν γὰρ ἁπλῶς λαμβάνονται καὶ χωρίς τινος διαζεύξεως ἐνυπάρ|χουσι τοῖς ὑποκειμένοις f. 93 αὐτῶν, ὡς τὸ γελαστικὸν τῷ ἀνθρώπῳ· τὰ δὲ λαμβάνονται μετὰ διαζεύξεως, καὶ διαζευκτικῶς ἔνεισι τῷ ὑποκειμένῳ, ὡς τῷ ἀριθμῷ τὸ ἄρτιον ἢ τὸ περιττόν, καὶ τῇ ῥινὶ τὸ σιμὸν ἢ τὸ γρυπόν. Εἰ μὲν οὖν διαλεγοίμεθα περὶ τῶν πρώτων παθῶν καὶ τῶν ἰδίων συμβεβηκότων, οὕτω δεῖ λέγειν, ὡς οὐκ ἔστιν ἀληθὲς καθόλου τὸ εἰρημένον, ἀλλ' ἐκ μέρους. Ὁπόταν μὲν γὰρ τὸ τοιοῦτον ἴδιον συμβεβηκὸς ὁρίζηται κατὰ ἀφαίρεσιν, ἀληθές ἐστι τὸ τίθεσθαι τὸ ὑποκείμενον αὐτοῦ ὡς διαφορὰν ἐν τῷ ὁρισμῷ· ὅθεν ἀληθής ἐστιν ὁρισμὸς ὁ τοιοῦτος· Γελαστικότης ἐστὶν ἐπιτηδειότης τοῦ ἀνθρώπου πρὸς τὸ γελᾶν. Ἀλλ' ὅταν ὁρίζηται ἐν τῷ συγκεκριμένῳ, ἀναρμόστως ἂν ὁρισθείη, εἰ τὸ ὑποκείμενον αὐτοῦ ἐντεθείη τῷ ὁρισμῷ ἀντὶ γένους, ὡς εἴ τις λέγοι· Γελαστικόν ἐστιν ἄνθρωπος πεφυκὼς γελᾶν· τούτου δὲ λόγος ἐστίν, ὅτι ἀεὶ δεῖ τὸ τιθέμενον ἐν τῇ πρώτῃ χώρᾳ τοῦ ὁρισμοῦ συνέλκεσθαί τε καὶ διορίζεσθαι διὰ τοῦ προστεθειμένου, ὅπερ ἀντὶ διαφορᾶς τίθεται· ἀεὶ γὰρ ἡ διαφορὰ συνέλκει τὸ γένος οἷον εἰπεῖν καὶ διορίζει, τό γε ἐφ' ἑαυτῷ ἀδιορίστως ἔχον πρὸς εἰδικόν τι· ἀεὶ γὰρ τὸ γένος ἐπὶ πλέον ἐστὶ τῆς διαφορᾶς. Ἀλλ' ὁ ἄνθρωπος οὐ δύναται τρόπῳ τινὶ συνέλκεσθαι διὰ τοῦ πρὸς τὸ γελᾶν πεφυκέναι· ἴσα γάρ εἰσιν ἄμφω ταῦτα καὶ ἀντιστρέφοντα· τὸ δὲ συνέλκεσθαι μέλλον καὶ ἀφορίζεσθαι ἐπὶ πλέον εἶναι τοῦ συνέλκοντός τε καὶ ἀφορίζοντος. Εἰ δὲ τὸ τοιοῦτον ἴδιον συμβεβηκὸς ὁρίζεσθαι μέλλοι συγκεκριμένως, δεῖ τίθεσθαι ἀντὶ γένους οὐ τὸ ὑποκείμενον αὐτοῦ, ἀλλὰ τὸ γένος τοῦ ὑποκειμένου, ὡς εἰ λέγοι τις· Γελαστικόν ἐστι ζῷον πεφυκὸς γελᾶν· ἐνταῦθα γὰρ τὸ ζῷον ἀντὶ γένους τιθέμενον ἀληθῶς συνέλκεται τῇ τοῦ πεφυκέναι γελᾶν προσθήκῃ· ἔστι γὰρ ἐκεῖνο μὲν ἐπὶ πλέον, τοῦτο δ' ἐπ' ἔλαττον· πᾶν γὰρ πεφυκὸς γελᾶν ζῷον ἐστίν, ἀλλ' οὐ τὸ ἀνάπαλιν. Εἰ δὲ διαλεγοίμεθα περὶ τῶν ἰδίων συμβεβηκότων λαμβανομένων μετὰ διαζεύξεως, ἐν τοῖς τοιούτοις ἡ τοῦ διδασκάλου λέξις ἐπαληθεύει καλῶς, ὡς καὶ πρότερον ἀνεπτύχθη, καὶ περὶ τῶν τοιούτων συμβεβηκότων τὸν λόγον ἐκεῖνον ἐνόει δήπου, ὡς δῆλον τοῖς αὐτοῦ παραδείγμασι, δηλονότι τῷ σιμῷ καὶ τῇ σιμότητι· τουτὶ γὰρ τὸ ἴδιον ἔνεστιν ὑπό τινι διαζεύξει· ἡ γὰρ ῥὶς ἢ σιμή ἐστιν, ἢ γρυπή· καὶ ἡ ῥὶς καλῶς συνέλκεται διὰ τοῦ κοίλου πρὸς τὴν σιμότητα, ὥστε μὴ συνέλκεσθαι ἔτι πρὸς τὴν γρυπότητα.

Ε.Υ.Δ της Κ.τ.Ι ΙΩΑΝΝΙΝΑ 2006

## CXXXIV.

### ρλδʹ. Εἰ δύναται τὸ συμβεβηκὸς λέγεσθαι ὄν.

Δεύτερον, ἀπορεῖται εἰ τὸ συμβεβηκὸς δύναται λέγεσθαι ὄν, καὶ δοκεῖ f. 93v μή, διότι ὄν ἐστιν ᾧ ὀφείλεται τὸ εἶναι· | ἀλλὰ τῷ συμβεβηκότι οὐκ ὀφειλόμενόν ἐστι τὸ ὑπάρχειν, ἀλλὰ μᾶλλον τὸ ἐνυπάρχειν. Δεῖ τοίνυν λέγειν πρὸς τοῦτο, ὅτι τὸ συμβεβηκὸς ἀληθῶς ἐστιν ὂν καθ' αὑτὸ καὶ πραγματικόν, καὶ τούτου λόγος ἐστίν, ὅτι πᾶν διαιροῦν τὴν κατηγορίαν δέχεται τοῦ ἰδίου διαιρετοῦ, ὥσπερ διὰ τὸ τὸν ἄνθρωπον καὶ ἵππον διαιρεῖν τὸ ζῷον ἀληθῶς δυνάμεθα λέγειν, ὡς ὁ ἄνθρωπος ζῷον ἐστίν, καὶ ὁ ἵππος ζῷον ἐστίν, εἰ καὶ ὁ ἄνθρωπος τελειότερός ἐστι τοῦ ἵππου. Ἀλλὰ κατὰ τὴν τοῦ Φιλοσόφου διδασκαλίαν ἐν τῷ πέμπτῳ τῶν μετὰ τὰ φυσικά, τὸ ὂν τὸ καθ' αὑτὸ καὶ πραγματικόν ἐστι τὸ διαιρούμενον εἰς οὐσίαν καὶ συμβεβηκὸς καὶ εἰς τὰς δέκα κατηγορίας. Οὐκοῦν, ὥσπερ δυνάμεθα λέγειν, ὅτι ἡ οὐσία ἐστὶν ὂν καθ' αὑτὸ καὶ πραγματικόν, οὕτω δυνάμεθα λέγειν καὶ ὅτι τὸ συμβεβηκὸς ὄν ἐστι καθ' αὑτὸ καὶ πραγματικόν, εἰ καὶ ἤρτηται τῆς οὐσίας τὸ συμβεβηκὸς καὶ μηδ' ἔχει τέλειον εἶναι οὕτως ὡς ἡ οὐσία. Πρὸς δὲ τὸ τὴν ἀπορίαν βεβαιοῦν ἐπιχείρημα ῥητέον ἐστίν, ὅτι ὂν λέγεται ᾧ τινι ἁρμόττει τὸ εἶναι τῆς οὐσίας, οὐ τὸ εἶναι τῆς κατὰ τὴν ἐντελέχειαν ὑπάρξεως· ἀλλ' αὐτὸ τὸ συμβεβηκὸς καλῶς ἔχει τὸ εἶναι τῆς οὐσίας, ὥσπερ ἔχει καὶ τὴν οὐσίαν, εἰ καὶ ὅσον πρὸς τὴν κατ' ἐνέργειαν ὕπαρξιν ἔχει τὸ ἐνυπάρχειν. Ἢ ῥητέον ὅτι τὸ συμβεβηκὸς ἔχει εἶναι, ἀλλὰ τὸ εἶναι αὐτοῦ τὸ ἐνυπάρχειν ἐστίν· ὅθεν αὐτὸ τὸ ἐνυπάρχειν τῶν συμβεβηκότων, εἰ καὶ μὴ δηλοῖ εἶναι ἁπλῶς, δηλοῖ μέντοι εἶναι πῇ, κἀντεῦθεν τὸ συμβεβηκὸς δεῖ λέγεσθαι τρόπῳ τινὶ ὄν, καὶ οὐχ ἁπλῶς καὶ τελείως. Καὶ τοῦτο θεωρῶν ὁ Φιλόσοφος ἐν τῷ ἑβδόμῳ τῶν μετὰ τὰ φυσικά, ἔλεγεν ὅτι τὸ συμβεβηκὸς οὐκ ἦν ὄν, ἀλλ' ἦν τοῦ ὄντος.

## CXXXV.

### ρλεʹ. Εἰ ἡ τοῦ συμβεβηκότος οὐσία ἐστὶν οὐσία ἀπολελυμένη τοῦ ὑποκειμένου.

Τρίτον, ἀπορεῖται εἰ ἡ οὐσία τοῦ συμβεβηκότος ἐστὶν οὐσία ἀπολελυμένη τοῦ ὑποκειμένου· καὶ δοκεῖ εἶναι τοιαύτη, διότι ὅπερ ἐστὶν ὂν καθ' αὑτό, τοῦτο ἐστὶν ὂν ἀπολελυμένον καὶ ἔχει οὐσίαν ἀπολελυμένην· ἀλλὰ τὸ συμβεβηκός ἐστιν ὂν καθ' αὑτό· ἄρα καὶ τὸ συμπέρασμα. Ἡ μείζων ἐναργής ἐστιν, διότι τὸ εἶναι καθ' αὑτὸ καὶ τὸ εἶναι ἀπολελυμένον δοκοῦσιν εἶναι ταὐτόν. Ἡ ἐλάττων καὶ αὐτὴ σαφής ἐστι διὰ τοῦ Φιλοσόφου ἐν τῷ πέμπτῳ τῶν μετὰ τὰ φυσικά. Ἀλλ' εἰς τοὐναντίον ἐστὶν ὁ διδάσκαλος οὗτος ἐν πολλοῖς τόποις.

Πρὸς ταύτην τὴν ἀπορίαν ῥητέον ἐστίν, ὅτι τὸ συμβεβηκός, εἰ καὶ ἔχει οὐσίαν καθ' αὑτό, ἀλλ' οὐκ ἔχει οὐσίαν ἀπολελυμένην τοῦ ὑποκει-

Ε.ΥΑ τ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μένου· καὶ τούτου λόγος ἐστίν, ὅτι εἰ τὸ συμβεβηκὸς ἔχει οὐσίαν ἀπολελυμένην, ἀκολουθήσειεν ἂν τὸ ὂν εἶναι γένος οὐσίας τε καὶ συμβεβηκότος· ἀλλὰ τὸ ἑπόμενον ψεῦδος ἐστί· καὶ | τὸ ἡγούμενον ἄρα. Τὸ ψεῦδος τοῦ f. 94 ἑπομένου φανερόν ἐστιν διὰ τοῦ Φιλοσόφου, ὃς ἐν τῷ τρίτῳ τῶν μετὰ τὰ φυσικὰ ἀρνεῖται τὸ ὂν εἶναι γένος. Ἡ ἀκολουθία σαφής ἐστιν ἐντεῦθεν. Ὅλη ἡ αἰτία δι' ἣν τὸ ὂν οὐ δύναται γένος εἶναι, δοκεῖ μάλιστα τυγχάνειν τὸ μὴ λέγεσθαι συνωνύμως αὐτὸ ἀλλὰ ἀναλογικῶς κατὰ τῆς οὐσίας καὶ τοῦ συμβεβηκότος· λέγεται γὰρ κατ' αὐτῶν οὐκ ἐπίσης ἀλλὰ κατὰ τὸ πρότερόν τε καὶ ὕστερον· τὸ δὲ γένος συνωνύμως τε καὶ ἐπίσης λέγεσθαι δεῖ. Καὶ ἡ ἀνισότης αὕτη ἐντεῦθεν δοκεῖ λαμβάνεσθαι, ὅτι ἡ οὐσία ἔχει οὐσίαν ἀπολελυμένην, τὸ δὲ συμβεβηκός, ἠρτημένην· κατὰ δὴ τοῦ ἀπολελυμένου καὶ ἠρτημένου οὐδὲν δύναται λέγεσθαι συνωνύμως οὐδὲ ἐπίσης. Εἰ τοίνυν τὸ συμβεβηκὸς εἶχεν οὐσίαν ἀπολελυμένην, ἐπεὶ τοῦτο καὶ τῇ οὐσίᾳ προσήκει, ἐλέγετο ἂν τὸ ὂν ἐπίσης καὶ συνωνύμως κατά τε τῆς οὐσίας καὶ τοῦ συμβεβηκότος, καὶ ἑπομένως ἦν ἂν γένος. Πρὸς δὲ τὸ ἐπιχείρημα ῥητέον ἐστίν, ὅτι ἐν τῷ πέμπτῳ τῶν μετὰ τὰ φυσικὰ οὐ λαμβάνεται ἐν τῇ διαιρέσει τοῦ ὄντος τὸ καθ' αὑτὸ ὂν ἀντὶ τοῦ ἀπολελυμένου ὄντος, ἀλλ' ἀντὶ τοῦ ὄντος ἐκείνου, ὅπερ ἐστὶν ὂν διά τινος οὐσίας ὀφειλομένης αὐτῷ, εἴτε ἀπολελυμένη εἴη, εἴτε ἠρτημένη. Εἰ οὖν ἐν τούτῳ δοκεῖ διαφέρειν ἡ οὐσία τοῦ συμβεβηκότος, ὅτι ἡ οὐσία δηλοῖ οὐσίαν ἀπολελυμένην καὶ ἁπλῶς, τὸ δὲ συμβεβηκὸς οὐσίαν ἠρτημένην καὶ πῇ, ὅμως κυριώτατα διαλεγομένων ἡμῶν, οὐδεμία οὐσία ἔχει οὐσίαν ἁπλῶς καὶ καθ' αὑτὴν καὶ οὐδενὶ τρόπῳ ἠρτημένην εἰ μὴ μόνη ἡ πρώτη οὐσία, ἥ ἐστιν αἰτία ποιητικὴ καὶ τελικὴ πάντων τῶν κτισμάτων. Καὶ αὕτη ἡ οὐσία ἐστὶν ὁ Θεός, ὁ Πατήρ, ὁ Υἱὸς αὐτοῦ καὶ τὸ ἅγιον Πνεῦμα αὐτῶν, ἡ ἐν τρισὶ προσώποις ἄκρα ἑνότης, καὶ ἐν ἄκρᾳ ἑνότητι τριὰς ἀληθινή, ἧς ἀρχὴ ὁ Πατὴρ μόνος, τουτέστι μόνος γεννήτωρ καὶ μόνος προβολεύς· μόνος γάρ ἐστι προβολεὺς διὰ Λόγου, ὅτι μόνος γεννήτωρ· καὶ προβολεύς ἐστιν ὁ αὐτός, καὶ μόνος ἐστὶ γεννήτωρ, ὅτι εἷς ἐστι Πατὴρ αὐτός. Ὡσαύτως καὶ εἷς Υἱός, καὶ ἓν Πνεῦμα διὰ τοῦ ἑνὸς Υἱοῦ τῷ ἑνὶ Πατρὶ συναπτόμενον, οὐδὲν ἧττον ἢ ὁ Υἱὸς συνῆπται τῷ Πατρί· ἐκ γὰρ τοῦ Πατρός ἐστι φυσικῶς τε καὶ συμφυῶς καὶ αὐτό. Ταύτῃ τῇ μακαρίᾳ Τριάδι, τῇ μιᾷ πάντων ἀρχῇ, χάρις καὶ τοῦ παρόντος ἔργου, ὅτι ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα, αἶνός τε καὶ δόξα παρὰ πάντων αὐτῷ εἰς τοὺς αἰῶνας· ἀμήν: —

Τέλος τῆς εἰς τὸ βιβλίον τοῦ διδασκάλου Θωμᾶ περὶ τῆς οὐσίας καὶ τοῦ εἶναι ἐξηγήσεως: ~

---

36-37 sic L



Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# Table des matières.

f. 94v *ΠΙΝΑΞ ΤΩΝ ΖΗΤΗΜΑΤΩΝ.*

**Τὰ ἐμπεριεχόμενα τῇ ἐξηγήσει ζητήματα, ἃ καὶ λύεται κατὰ τὴν τοῦ Θωμᾶ δόξαν μᾶλλον ἢ τὴν τοῦ λύοντος τὰ πλείω.**


α′. Διατί ἡ ἐν τῇ ἀρχῇ μικρὰ πλάνη μεγάλη γίνεται ἐν τῷ τέλει 185
β′. Διατί τὸ ὂν καὶ ἡ οὐσία πρώτως συλλαμβάνονται ἐν τῷ νῷ . 186
γ′. Πόσα εἰσὶ τὰ ζητούμενα καὶ περὶ τῆς αὐτῶν πρὸς ἄλληλα τάξεως 186
δ′. Τί διαφέρει τὸ τί ἐστι τοῦ πράγματος καὶ τὸ τί τοῦ ὀνόματος 187
ε′. Πῶς ἐστιν ἄλλο ἄλλου γνωριμώτερον . . . . . . . . . 188
ς′. Πότερον τὰ ἁπλᾶ γνωριμώτερά εἰσι τῶν συνθέτων, ἢ τὸ ἀνάπαλιν 189
ζ′. Ὅπως ἂν λέγοιτο τὰ συγκεκριμένα σύνθετα εἶναι . . . . 190
η′. Τί ἐστι τὸ τοῦ νοῦ ἀντικείμενον· πότερον τὸ ὄν, ἢ τὸ ἀληθής, ἢ ἡ οὐσία . . . . . . . . . . . . . . . . . 190
θ′. Πότερον τὸ εἶναι καὶ ἡ οὐσία διαφέρουσι πραγματικῶς ἐν τοῖς κτίσμασιν . . . . . . . . . . . . . . . . 191
ι′. Τί δημιουργεῖται πρότερον· πότερον τὸ εἶναι, ἢ ἡ οὐσία . . 192
ια′. Πῶς διαιρεῖται τὸ ὄν, καὶ τίς ἡ πρώτη αὐτοῦ διαίρεσις . . 193
ιβ′. Ὅπως ἡ στέρησις, ἡ ἀπόφασις καὶ τὰ ἐναντία συμβαίνουσί τε καὶ διαφέρουσιν . . . . . . . . . . . . . . . 194
ιγ′. Εἰ τὸ ὂν τοῦ λόγου ὄν ἐστιν . . . . . . . . . 194
ιδ′. Εἰ δυνατὸν λέγεσθαί τι ὄν, ὅπερ οὐκ ἔστιν οὐσία . . . . 195
ιε′. Ἐν τίνι συμφωνοῦσι καὶ διαφέρουσιν ἡ οὐσία, τὸ τί ἐστιν, ἡ φύσις καὶ τὸ εἶδος . . . . . . . . . . . . . . 197
ις′. Πῶς ἕν εἰσι καὶ πῶς διαφέρουσιν ἡ οὐσία καὶ τὸ εἶναι τῆς οὐσίας, καὶ τί ἐστι πρότερον ἐν αὐτοῖς . . . . . . . 198
ιζ′. Εἰ τὸ ὂν τοῦ λόγου συμβεβηκός ἐστιν. . . . . . . 198
ιη′. Ὁσαχῶς δύναταί τι εἶναι ἐν τῇ ψυχῇ . . . . . . . 199
ιθ′. Πῶς ἂν λέγοιτο τὸ ὄν, πρῶτον κατὰ τῆς οὐσίας, ὕστερον δὲ κατὰ τοῦ συμβεβηκότος . . . . . . . . . . . . 200
κ′. Διατὶ τὰ συμβεβηκότα οὐκ ἔχουσιν οὐσίαν κυρίως καὶ ἀληθῶς 200
κα′. Εἰ πᾶν συμβεβηκὸς οὐσίαν ἔχει ἠρτημένην . . . . . . 200
κβ′. Ὅπως ἡ ἁπλῆ οὐσία ἔχει τιμιωτέραν οὐσίαν τῆς συνθέτου, καὶ πῶς οὐκ ἔχει . . . . . . . . . . . . . . . 202
κγ′. Ὁσαχῶς δύναταί τι ἡμῖν εἶναι ἄγνωστον . . . . . . 204
κδ′. Διατὶ περὶ τῶν χωριστῶν οὐσιῶν οὐ δυνάμεθα εἰδέναι τί εἰσίν, ἀλλὰ τί οὐκ εἰσίν . . . . . . . . . . . . . . 204
κε′. Διατὶ οὐ δύναται ἡ ὕλη ἀρχὴ γνώσεως εἶναι . . . . . 206


Ε.Υ.Δ τ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κϛ΄. Δόξαι διάφοροι περὶ τοῦ γινώσκεσθαι ἢ ἄγνωστον εἶναι τὴν ὕλην 206
κζ΄. Διάκρισις τῶν δοξῶν καὶ διορισμὸς τῆς ἀληθείας . . . . . 211
κη΄. Ὅπως ὁ Πλάτων ἐτίθει τὴν ψυχὴν ὕλην εἶναι τὴν οὐσίαν τοῦ εἴδους . . . . . . . . . . . . . . . . . . 214
κθ΄. Εἰ ὁ φυσικὸς ὁρισμὸς ἐγκλείει τὴν ὕλην . . . . . . . . 215 f. 95
λ΄. Ὅπως διαφόρως ὁριζόμεθα τὰς συνθέτους οὐσίας καὶ τὰ μέρη τῆς οὐσίας καὶ τὰ συμβεβηκότα . . . . . . . . . . 216
λα΄. Πότερον τὸ ὑποκείμενον ἐκ τῆς οὐσίας τοῦ συμβεβηκότος ἐστίν 217
λβ΄. Ὅτι οὐ πᾶν ἐπερχόμενόν τινι ἐν τῷ ὄντι συμβεβηκός ἐστιν . 218
λγ΄. Τίς ἐστιν ἡ κυρίως λεγομένη οὐσία ἐν τοῖς συνθέτοις πράγμασιν 218
λδ΄. Ὅτι τὸ τῆς οὐσίας ὄνομα παρὰ μὲν τοῖς Ἕλλησιν ὁμώνυμόν ἐστιν, παρὰ δὲ Λατίνοις ἑκάστη τῆς οὐσίας σημασία ἰδίαν ἔχει προσηγορίαν . . . . . . . . . . . . . . . . 218
λε΄. Εἰ ἐξ ἀνάγκης ἡ ὕλη ζητεῖται πρὸς τὴν οὐσίαν τοῦ συνθέτου 220
λϛ΄. Ὅπως τὸ εἶδος μόνον ὁρίζεται . . . . . . . . . . . 221
λζ΄. Ὅτι τὰ ἄτομα οὐχ ὁρίζονται . . . . . . . . . . 221
λη΄. Ὅπως αἱ ἀτομοῦσαι ἀρχαὶ ἐκ τοῦ ἐνδοτέρου λόγου τοῦ ἀτόμου εἰσίν . . . . . . . . . . . . . . . . . . 222
λθ΄. Ὅπως ὁ Σωκράτης ταὐτόν ἐστι τῷ ἀνθρώπῳ πραγματικῶς κατὰ τὸν Θωμᾶν . . . . . . . . . . . . . . . 222
μ΄. Πότερον τὸ ὑποκείμενον ταὐτόν ἐστι πραγματικῶς τῇ φύσει . 223
μα΄. Πῶς τὸ μέρος δύναται κατηγορεῖσθαι τοῦ ὅλου καὶ πῶς οὔ . 224
μβ΄. Ὅπως τὸ αὐτό ἐστιν εἶδος δι' οὗ τί ἐστι ζῷον, καὶ δι' οὗ σῶμά ἐστι, καὶ ποσαχῶς τὸ σῶμα . . . . . . . . . . . 225
μγ΄. Εἰ τὸ σῶμα δυνατόν ἐστι κατηγορεῖσθαι κατὰ τοῦ ζῴου . . 227
μδ΄. Ὅπως τὸ σῶμα διακρίνεται τοῦ μὴ ζῴου κινήσει καὶ αἰσθήσει 228
με΄. Ὅπως διαφέρουσιν ἐν τῷ σημαίνειν τι ὅλον τό τε γένος καὶ τὸ εἶδος, ἡ διαφορὰ καὶ ὁ ὁρισμός . . . . . . . . . 228
μϛ΄. Ὅπως τὸ γένος ἀναλογεῖ ὕλῃ, καὶ ἡ διαφορὰ τῇ μορφῇ, καὶ τὸ εἶδος τῷ συνθέτῳ . . . . . . . . . . . . . 229
μζ΄. Ὅπως ἡ ἐκ πρόθεσις κυρίως παρονομάζει σχέσιν ὑλικῆς αἰτίας 230
μη΄. Ὅθεν λαμβάνεται ἡ τοῦ γένους ἑνότης τοῦ εἴδους καὶ τῆς πρώτης ὕλης . . . . . . . . . . . . . . . . 231
μθ΄. Ὅπως ἡ ἀνθρωπότης δηλοῖ μέρος τοῦ ἀνθρώπου πραγματικόν 232
ν΄. Ὅπως τὸ ὑποκείμενον καὶ ἡ φύσις πραγματικῶς διαφέρουσιν 233
να΄. Ὅπως ἡ ἀνθρωπότης δύναται λέγεσθαι μέρος εἰδικὸν καὶ ὑλικὸν τοῦ ἀτόμου . . . . . . . . . . . . . . 233

14 A partir de λε΄, la numérotation des chapitres dans la table a été brouillée par distraction. Nous donnons la numérotation correspondant au texte



Ε.Ι.Δ. της τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

νβ'. Ὅπως ὁ Σωκράτης ὁ ἄνθρωπος καὶ ἡ ἀνθρωπότης διαφέρουσιν 234
νγ'. Πῶς ἡ ὕλη ἐστὶν ἀρχὴ τῆς ἀτομότητος . . . . . . . . 234
νδ'. Ὅπως ἡ λογικότης οὐκ ἔστι διαφορά, ἀλλὰ τὸ λογικόν . . 238
νε'. Κατὰ τῶν παρὰ Πλάτωνι ἰδεῶν . . . . . . . . . . 238
νς'. Διατί ᾤετο Πλάτων ἀναγκαῖον εἶναι τὸ τιθέναι ἰδέας, καὶ ὅτι οὐκ ἔστιν ἀναγκαῖον . . . . . . . . . . . . 239
νζ'. Ὅπως ἡ φύσις διχῶς δύναται θεωρεῖσθαι . . . . . . . 239
f. 95v νη'. Ὅπως διαφέρουσι τὰ ἰδίως συμβεβηκότα τῶν κοινῶν . . . 240
νθ'. Πότερον ἡ τοῦ γένους κατηγορία κατὰ τοῦ εἴδους ἐστὶ τοῦ ἀνωτέρου κατὰ τοῦ ὑπ' αὐτό . . . . . . . . . . 242
ξ'. Ὅπως τὸ καθόλου ἕν ἐστιν ἐν πολλοῖς . . . . . . . . 243
ξα'. Εἰ ἐκ τοῦ λόγου τοῦ καθόλου ἐστὶ τὸ εἶναι ἐν πολλοῖς καὶ κατὰ πολλῶν, ἐν ᾧ καὶ περὶ τοῦ τί διαφέρει δύναμις καὶ ἐπιτηδειότης 244
ξβ'. Ὅπως ἀποδίδοται τῇ οὐσίᾳ ἡ λογικὴ ἐπίνοια . . . . . . 246
ξγ'. Ὅπως διαφέρουσιν ἡ πρώτη ἐπίνοια καὶ ἡ δευτέρα . . . . 246
ξδ'. Ὅπως ἔνια τὰ αὐτὰ μερικά εἰσι καὶ καθόλου, διαφόρως μέντοι γε . . . . . . . . . . . . . . . . 247
ξε'. Πῶς ἂν ἐπαληθεύοιτο ἡ ἀρχὴ αὐτὴ ἢ ὁ κανὼν ὁ λέγων· Ὅταν ἕτερον κατηγορῆται καθ' ἑτέρου, καὶ τὰ ἑξῆς . . . 248
ξς'. Πῶς ἐστι πρώτη ἐπίνοια ἡ κατὰ τῶν ὑποδεεστέρων λεγομένη . 249
ξζ'. Ὅπως ἡ πρότασις αὕτη ἡ· Ὁ ἄνθρωπος εἶδός ἐστίν, οὐκ ἔστιν ἀπροσδιόριστος ἀλλ' ἑνική . . . . . . . . . 249
ξη'. Πότερον ἡ πρώτη ἐπίνοια, ἢ ἡ δευτέρα ὁρίζεται ἐν τῷ τὸ γένος ὁρίζεσθαι . . . . . . . . . . . . . . 250
ξθ'. Ὅτι διπλᾶ τὰ συμβεβηκότα, ὑλικά τε καὶ τελικά . . . . 253
ο'. Ὅτι τὸ εἶδος, ὅπερ ἐστὶ δευτέρα ἐπίνοια, ἄλλο παρὰ τὸ εἶδος, ὅ ἐστιν ἀρχὴ τῆς νοήσεως . . . . . . . . . 254
οα'. Πότερον ἡ ἀνθρωπίνη φύσις ἔχει τὸ εἶναι ἀφῃρημένον ἐν τῷ νῷ ἀπὸ τῶν ἀτομούντων . . . . . . . . . . 254
οβ'. Εἰ δυνατὸν εἶναι ἐπιστήμην τῶν αἰσθητῶν . . . . . . . 255
ογ'. Τί ἦν τὸ κεκινηκὸς τὸν Ἀβικεβρῶνα θεῖναι ἐν ταῖς ἁπλαῖς οὐσίαις ὕλην . . . . . . . . . . . . . . . 257
οδ'. Ὁποῖον ποιοῦν δύναται ποιεῖν ὑπὲρ τὸ οἰκεῖον εἶδος . . . 258
οε'. Πότερον ἐν τῇ νοερᾷ οὐσίᾳ δεῖ εἶναι παντάπασιν ἀμεθεξίαν τῆς ὕλης . . . . . . . . . . . . . . . . 259
ος'. Κατὰ τῶν τιθέντων ὕλην πνευματικήν . . . . . . . . 260
οζ'. Εἰ δύναται ἡ ψυχὴ λέγεσθαι νόησις . . . . . . . . . 262
οη'. Εἰ τὸ εἶδος ἤρτηται τῆς ὕλης αὐτῷ τούτῳ τῷ εἶδος εἶναι . . 263
οθ'. Ὅπως οὐ δεῖ λέγεσθαι κυρίως τοὺς ἀγγέλους εἴδη, ἀλλὰ μᾶλλον ἐνεργείας ἢ ἐντελεχείας . . . . . . . . . . . 264

π'. Ὅπως ἀληθής ἐστι κατηγορία αὕτη· Ὁ Γαβριὴλ ἐστὶ γαβριηλότης . . . . . . . . . . . . . . . . 265
πα'. Διατί οἱ ἄγγελοι οὐ πληθύνονται κατὰ τὸν ἀριθμὸν ἐν τῷ αὐτῷ εἴδει . . . . . . . . . . . . . . . . . . . . 265
πβ'. Εἰ δύνανται δύο συμβεβηκότα ἀριθμῷ διαφέρειν, κεχωρισμένα τοῦ ὑποκειμένου . . . . . . . . . . . . . . . . 266
[πγ'. Πῶς δεῖ νοεῖν τοῦτο τὸ ζήτημα καὶ περὶ τίνος εἶναι] . . . 267
πδ'. Πῶς ἡ ἐκ τοῦ εἶναι καὶ τῆς οὐσίας σύνθεσις νοεῖται περὶ τοῦ αὐτοῦ εἶναι . . . . . . . . . . . . . . . . . 268
πε'. Ὅπως ἔχουσιν ἐν τῷ Θεῷ τὸ εἶναι καὶ ἡ οὐσία . . . . . 268
πς'. Ὅπως τὰ ἴδια συμβεβηκότα οὐ γίνονται κυρίως ἐκ τῶν οὐσιωδῶν ἀρχῶν τοῦ πράγματος εἰ μὴ ὡς ἐκ ὑποκειμένου . . . 270
πζ'. Πῶς δυνατόν ἐστι τιθέναι ἐν τοῖς ἀγγέλοις ὕλην, καὶ πῶς μή 272 f. 96
πη'. Πῶς ἂν νοοῖτο ἡ τῶν ἀγγέλων ἁπλότης . . . . . . . . 273
πθ'. Πῶς ἂν ἐπαληθεύοιτο ἡ πρότασις αὕτη· Ὡς ἔχει ἡ ὕλη πρὸς τὰ αἰσθητὰ εἴδη, καὶ τὰ ἑξῆς . . . . . . . 274
ϟ'. Εἰ ἓν εἶδος ἀπῴκισται τῆς ὕλης μᾶλλον ἑτέρου . . . . . 274
ϟα'. Εἰ αἱ συνθέσεις, ἃς ἐν ταῖς ἁπλαῖς οὐσίαις τίθεμεν, ἀληθεῖς εἰσι καὶ πραγματικαί . . . . . . . . . . . . . . 275
ϟβ'. Πότερον ἡ ἀγγελικὴ οὐσία διενήνοχε τῆς τοῦ Θεοῦ . . . . 277
ϟγ'. Εἰ ἐν τῷ Θεῷ ἐστι λόγου σύνθεσις . . . . . . . . . 277
ϟδ'. Πόσα ζητοῦνται πρὸς τὴν σύνθεσιν . . . , . . . . . 281
ϟε'. Εἰ τὸ εἶναι ἔν τινι ἐστὶ κατηγορίᾳ . . . . . . . . . 285
ϟς'. Πῶς ὁ Θεός ἐστι πρῶτον ἐν πᾶσι τοῖς οὖσιν . . . . . 286
ϟζ'. Πότερον ὁ Θεός ἐστιν ἔν τινι γένει . . . . . . . . . 287
ϟη'. Ὅπως τὸ κατ' ἀναγωγὴν εἶναι ἔν τινι κατηγορίᾳ πολλαχῶς δεῖ νοεῖσθαι . . . . . . . . . . . . . . . . . . 287
ϟθ'. Ὅτι ἡ οὐσία διχῶς λαμβάνεται, καὶ τίς οὐσία ἐστὶ κατηγορία 288
ρ'. Ὅπως τὸ θεῖον εἶναι οὐχ ἔστι κοινὸν κατηγορικὸν πάντων . 290
ρα'. Εἰ ὁ Θεὸς ἔχει πάσας τὰς τελειότητας ἐν αὐτῷ . . . . . 291
ρβ'. Ὅτι τὸ εἶναι διαφόρως ἔχει ἐν τοῖς διαφόροις συνθέτοις . . 294
ργ'. Ὅπως τὸ λογικὸν οὐχ ἔστι κυρίως διαφορὰ τοῦ ἀνθρώπου . 296
ρδ'. Πότερον ἡ οὐσία ἡ κατηγορία ἁπλῆ ἐστιν οὐσία, ἢ σύνθετος . 296
ρε'. Ὅτι τὸ γένος καὶ ἡ διαφορὰ ἐν ταῖς χωρισταῖς οὐσίαις ἐκ τοῦ αὐτοῦ κατὰ τὸ πρᾶγμα λαμβάνεται . . . . . . . . 298
ρς'· Ὅπως τὰ διαφέροντα ἀλλήλων ἀριθμῷ οὐσιωδῶς διαφέρουσιν 299
ρζ'. Ὅπως δεῖ νοεῖν τὸ τὴν διαίρεσιν τῶν νοερῶν οὐσιῶν μὴ γίνεσθαι δυσὶν ἀληθέσι διαφοραῖς . . . . . . . . . . 300
ρη'. Διαφορὰ γενικὴ Θεοῦ καὶ ἀγγέλων καὶ τῶν συνθέτων . . . 301
ρθ'. Ὅπως τὸ συμβεβηκὸς οὐδενὶ τρόπῳ δύναται νοεῖσθαι χωρὶς τοῦ ὑποκειμένου . . . . . . . . . . . . . . . . 303

Ε.Υ.Α. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ρι'. Ὅπως τὸ συμβεβηκὸς ὁρίζεσθαι δύναται χωρὶς τοῦ ὑποκειμένου 303
ρια'. Ὅπως ἐν τῷ τῆς ψυχῆς λόγῳ τίθεται τὸ σῶμα . . . . . 304
ριβ'. Ὅτι ἡ τινὸς ὕλη διττῶς λαμβάνεσθαι δύναται . . . . . 304
ριγ'. Ὅπως διαφέρουσιν εἶδος καὶ εἰδικὸν αἴτιον . . . . . . 305
ριδ'. Ὅπως ὁ Θεὸς οὐ δύναται ποιεῖν τὸ πρᾶγμα ἄνευ τῆς εἰδικῆς αἰτίας . . . . . . . . . . . . . . . . . . . 305
ριε'. Εἰ τὸ εἶδος ἔχει καθ' αὑτὸ εἶναι ἀπολελυμένον ἄνευ τῆς ὕλης 306
f. 96v ρις'. Εἰ τὸ συμβεβηκὸς ἔχει τελειοτέραν οὐσίαν τοῦ οὐσιώδους εἴδους 307
ριζ'. Πότερον τὸ πῦρ αἴτιόν ἐστι θέρμης ἐν πᾶσι τοῖς θερμοῖς . . 308
ριη'. Ὅπως δεῖ νοεῖσθαι τὸ τινὰ μὲν συμβεβηκότα ἕπεσθαι τῇ ὕλῃ, τινὰ δὲ τῷ εἴδει . . . . . . . . . . . . . . . 309
ριθ'. Καὶ εἰ δύναταί τι συμβεβηκὸς ἕπεσθαι τῷ εἴδει χωρὶς τῆς κοινωνίας τῆς ὕλης . . . . . . . . . . . . . . 309
ρκ'. Εἰ τὸ νοεῖν συμβεβηκός ἐστιν ἑπόμενον τῇ λογικῇ ψυχῇ ἄνευ τῆς κοινότητος τοῦ σώματος . . . . . . . . . . . 310
ρκα'. Τί ἐστι τὸ γενικὸν εἶδος, καὶ τί ἐστι τὸ εἰδικόν . . . . . 311
ρκβ'. Πότερον ἡ αὐτὴ τῷ ἀριθμῷ μελανία ἔστιν ἐν τῷ ζῶντι καὶ τῷ νεκρῷ . . . . . . . . . . . . . . . . . . 311
ρκγ'. Ὅτι τὰ ἄτομα διαφέρουσιν ἀλλήλων κατὰ συμβεβηκός . . . 312
ρκδ'. Ὅπως οὐ δεῖ λέγεσθαι· Ἴδιον ἀνθρώπου τὸ γελᾶν, ἀλλά, τὸ γελαστικόν . . . . . . . . . . . . . . 312
ρκε'. Εἰ τὸ πῦρ δύναται ψυχραίνεσθαι . . . . . . . . . . 313
ρκς'. Ὅπως αἱ οὐσίαι ἐξ ἀφαιρέσεως λαμβανόμεναι οὐκ εἰσὶν ἐν κατηγορίᾳ κατ' εὐθεῖαν . . . . . . . . . . . . 314
ρκζ'. Ὅπως αἱ κατηγορίαι ἀλλήλων διακρίνονται . . . . . . 314
ρκη'. Ὅπως τὸ ἐν τῷ ὁρισμῷ πρῶτον τιθέμενον γένος ἐστί, τὸ δὲ ἑπόμενον, διαφορά . . . . . . . . . . . . . . . 316
ρκθ'. Ὅπως ἡ ἀναφορὰ ἐν τρισὶ θεμελιοῦται κατηγορίαις . . . 316
ρλ'. Ὅτι ἀγνοοῦμεν τὰς κυρίως διαφορὰς τῶν συμβεβηκότων . . 317
ρλα'. Ὅτι ἐν τῷ ἁπλῷ σώματι ἀδύνατον εἶναι τὸ χρῶμα . . . 317
ρλβ'. Διατί οὐ δυνάμεθα τὸν Θεὸν ὁρίζεσθαι . . . . . . . . 318
ρλγ'. Εἰ ἐν τῷ ὁρισμῷ τοῦ συγκεκριμένου συμβεβηκότος δεῖ τίθεσθαι τὸ ὑποκείμενον ἀντὶ γένους . . . . . . . . . 318
ρλδ'. Εἰ δύναται τὸ συμβεβηκὸς λέγεσθαι ὄν . . . . . . . . 320
ρλε'. Εἰ ἡ τοῦ συμβεβηκότος οὐσία ἐστὶν οὐσία ἀπολελυμένη τοῦ ὑποκειμένου. † . . . . . . . . . . . . . . . 320

† Αἶνος † δόξα † τῷ † Θεῷ: † ἀμήν. †

---

12 Ce titre, dans la table, est fondu avec le précédent.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006